ÉCOLE NORMALE SUPÉRIEURE DE LYON

15 parvis René-Descartes
BP 7000, 69342 Lyon cedex 07
Tél. +33 (0)4 37 37 60 00
www.ens-lyon.fr

# Concours d'entrée 2023

# Annexe sujets

## Grec
## Toutes séries

Sujet : Aristophane, *Les Oiseaux*, v. 27-59.

Série : Lettres et Arts

Epreuve : Explication d'un texte grec (spécialité)

ΕΥ. Οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους
ἔπειτα μὴ 'ξευρεῖν δύνασθαι τὴν ὁδόν;
Ἡμεῖς γάρ, ὦνδρες οἱ παρόντες ἐν λόγῳ,
νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ·
ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται,
ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς
ἀνεπτόμεθ' ἐκ τῆς πατρίδος ἀμφοῖν τοῖν ποδοῖν,
αὐτὴν μὲν οὐ μισοῦντ' ἐκείνην τὴν πόλιν
τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα
καὶ πᾶσι κοινὴν ἐναποτεῖσαι χρήματα.
Οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν' ἢ δύο
ἐπὶ τῶν κραδῶν ᾄδουσ', Ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν,
κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίνας
πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα,
ὅποι καθιδρυθέντε διαγενοίμεθ' ἄν.
Ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα,
τὸν ἔποπα, παρ' ἐκείνου πυθέσθαι δεομένω,
εἴ που τοιαύτην εἶδε πόλιν ᾗ 'πέπτετο.

ΠΙ. Οὗτος.
ΕΥ. Τί ἐστιν;
ΠΙ. Ἡ κορώνη μοι πάλαι
ἄνω τι φράζει.
ΕΥ. Χὠ κολοιὸς οὑτοσὶ
ἄνω κέχηνεν ὡσπερεὶ δεικνύς τί μοι,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
Εἰσόμεθα δ' αὐτίκ', ἢν ποήσωμεν ψόφον.
ΠΙ. Ἀλλ' οἶσθ' ὃ δρᾶσον; Τῷ σκέλει θένε τὴν πέτραν.
ΕΥ. Σὺ δὲ τῇ κεφαλῇ γ', ἵν' ᾖ διπλάσιος ὁ ψόφος.
ΠΙ. Σὺ δ' οὖν λίθῳ κόψον λαβών.
ΕΥ. Πάνυ γ', εἰ δοκεῖ.
Παῖ παῖ.
ΠΙ. Τί λέγεις, οὗτος; Τὸν ἔποπα παῖ καλεῖς;
Οὐκ ἀντὶ τοῦ παιδὸς σ' ἐχρῆν ἐποποῖ καλεῖν;
ΕΥ. Ἐποποῖ. Ποήσεις τοί με κόπτειν αὖθις αὖ.
Ἐποποῖ.

Sujet : Aristophane, *Oiseaux*, v. 465-492.

ΠΙ. Μὰ Δί' ἀλλὰ λέγειν ζητῶ τι πάλαι, μέγα καὶ λαρινὸν ἔπος τι,
ὅ τι τὴν τούτων θραύσει ψυχήν. Οὕτως ὑμῶν ὑπεραλγῶ,
οἵτινες ὄντες πρότερον βασιλῆς —
ΧΟ. Ἡμεῖς βασιλῆς; τίνος;
ΠΙ. Ὑμεῖς
πάντων ὁπόσ' ἔστιν, ἐμοῦ πρῶτον, τουδί, καὶ τοῦ Διὸς αὐτοῦ,
ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγένεσθε,
καὶ Γῆς.
ΧΟ. Καὶ Γῆς;
ΠΙ. Νὴ τὸν Ἀπόλλω.
ΧΟ. Τουτὶ μὰ Δί' οὐκ ἐπεπύσμην.
ΠΙ. Ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας,
ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι,
προτέραν τῆς γῆς, κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνῄσκειν·
γῆν δ' οὐκ εἶναι, τὸν δὲ προκεῖσθαι πεμπταῖον· τὴν δ' ἀποροῦσαν
ὑπ' ἀμηχανίας τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.
ΕΥ. Ὁ πατὴρ ἄρα τῆς κορυδοῦ νυνὶ κεῖται τεθνεὼς Κεφαλῆσιν.
ΠΙ. Οὔκουν δῆτ' εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν ἐγένοντο,
ὡς πρεσβυτάτων ὄντων αὐτῶν ὀρθῶς ἔσθ' ἡ βασιλεία;
ΕΥ. Νὴ τὸν Ἀπόλλω. Πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν σε τὸ λοιπόν·
οὐκ ἀποδώσει ταχέως ὁ Ζεὺς τὸ σκῆπτρον τῷ δρυκολάπτῃ.
ΠΙ. Ὡς δ' οὐχὶ θεοὶ τοίνυν ἦρχον τῶν ἀνθρώπων τὸ παλαιόν,
ἀλλ' ὄρνιθες, κἀβασίλευον, πόλλ' ἐστὶ τεκμήρια τούτων.
Αὐτίκα δ' ὑμῖν πρῶτ' ἐπιδείξω τὸν ἀλεκτρυόν', ὡς ἐτυράννει
ἦρχέ τε Περσῶν πρῶτος πάντων Δαρείων καὶ Μεγαβάζων,
ὥστε καλεῖται Περσικὸς ὄρνις ἀπὸ τῆς ἀρχῆς ἔτ' ἐκείνης.
ΕΥ. Διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥσπερ βασιλεὺς ὁ μέγας διαβάσκει
ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν τῶν ὀρνίθων μόνος ὀρθήν.
ΠΙ. Οὕτω δ' ἴσχυέ τε καὶ μέγας ἦν τότε καὶ πολύς, ὥστ' ἔτι καὶ νῦν
ὑπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης, ὁπόταν μόνον ὄρθριον ᾄσῃ,
ἀναπηδῶσιν πάντες ἐπ' ἔργον, χαλκῆς, κεραμῆς, σκυλοδέψαι,
σκυτῆς, βαλανῆς, ἀλφιταμοιβοί, τορνευτολυρασπιδοπηγοί·
οἱ δὲ βαδίζουσ' ὑποδησάμενοι νύκτωρ.

ΧΟ. Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ' ἀμενηνά,
ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοί, ἀνέρες εἰκελόνειροι,
προσέχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν ἐοῦσιν,
τοῖς αἰθερίοις, τοῖσιν ἀγήρῳς, τοῖς ἄφθιτα μηδομένοισιν,
ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ' Ἐρέβους τε Χάους τε
εἰδότες ὀρθῶς, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς·
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νύχιος κατὰ Τάρταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς.
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα·
ξυμμειγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς ὠκεανός τε
καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. Ὧδε μέν ἐσμεν
πολὺ πρεσβύτατοι πάντων μακάρων ἡμεῖς. Ὡς δ' ἐσμὲν Ἔρωτος
πολλοῖς δῆλον· πετόμεσθά ⟨τε⟩ γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν·
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρασταί,
ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν.
Πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας·
σπείρειν μέν, ὅταν γέρανος κρώζουσ' εἰς τὴν Λιβύην μεταχωρῇ·
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν,
εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ.
Ἰκτῖνος ⟨δ'⟩ αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει,
ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα χελιδών,
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρίασθαι.

Sujet : Aristophane, *Oiseaux*, v. 801-835.

Série : Lettres et Arts

Epreuve : Explication d'un texte grec (spécialité)

ΠΙ. Ταυτὶ τοιαυτί.
ΕΥ. Μὰ Δί' ἐγὼ μὲν πρᾶγμά πω
γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.
ΠΙ. Ἐπὶ τῷ γελᾷς;
ΕΥ. Ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
Οἶσθ' ᾧ μάλιστ' ἔοικας ἐπτερωμένος;
ΠΙ. Εἰς εὐτέλειαν χηνὶ σύ γε γεγραμμένῳ.
ΕΥ. Σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.
ΠΙ. Ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον
« Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς. »
ΧΟ. Ἄγε δὴ τί χρὴ δρᾶν;
ΠΙ. Πρῶτον ὄνομα τῇ πόλει
θέσθαι τι μέγα καὶ κλεινόν, εἶτα τοῖς θεοῖς
θῦσαι μετὰ τοῦτο.
ΕΥ. Ταῦτα κἀμοὶ συνδοκεῖ.
ΧΟ. Φέρ' ἴδω, τί δ' ἡμῖν τοὔνομ' ἔσται τῇ πόλει;
ΠΙ. Βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος
Σπάρτην ὄνομα καλῶμεν αὐτήν;
ΕΥ. Ἡράκλεις·
σπάρτην γὰρ ἂν θείμην ἐγὼ τἠμῇ πόλει;
Οὐδ' ἂν χαμεύνῃ πάνυ γε κειρίαν γ' ἔχων.
ΠΙ. Τί δῆτ' ὄνομ' αὐτῇ θησόμεσθ';
ΕΥ. Ἐντευθενὶ
ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων
χαῦνόν τι πάνυ.
ΠΙ. Βούλει Νεφελοκοκκυγίαν;
ΧΟ. Ἰοὺ ἰού·
καλόν γ' ἀτεχνῶς ⟨σὺ⟩ καὶ μέγ' ηὗρες τοὔνομα.
ΕΥ. Ἆρ' ἐστὶν αὑτηγὶ Νεφελοκοκκυγία,
ἵνα καὶ τὰ Θεογένους τὰ πολλὰ χρήματα
τά τ' Αἰσχίνου 'σθ' ἅπαντα;
ΠΙ. Καὶ λῷστον μὲν οὖν
τὸ Φλέγρας πεδίον, ἵν' οἱ θεοὶ τοὺς γηγενεῖς
ἀλαζονευόμενοι καθυπερηκόντισαν.
ΧΟ. Λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. Τίς δαὶ θεὸς
πολιοῦχος ἔσται; Τῷ ξανοῦμεν τὸν πέπλον;
ΕΥ. Τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα;
ΠΙ. Καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις,
ὅπου θεὸς γυνὴ γεγονυῖα πανοπλίαν
ἕστηκ' ἔχουσα, Κλεισθένης δὲ κερκίδα;
ΧΟ. Τίς δαὶ καθέξει τῆς πόλεως τὸ Πελαργικόν;
ΠΙ. Ὄρνις.
ΧΟ. Ἀφ' ἡμῶν; Τοῦ γένους;
ΠΙ. Τοῦ Περσικοῦ,
ὅσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ,
Ἄρεως νεοττός —
ΕΥ. Ὦ νεοττὲ δέσποτα.

ΠΟΙΗΤΗΣ

Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα
κλῇσον, ὦ Μοῦσα, τεαῖς ἐν ὕμνων ἀοιδαῖς.

ΠΙ. Τουτὶ τὸ πρᾶγμα ποδαπόν ; Εἰπέ μοι, τίς εἶ ;

ΠΟ. Ἐγώ ; μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν
Μουσάων θεράπων ὀτρηρός,
κατὰ τὸν Ὅμηρον.

ΠΙ. Ἔπειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις ;

ΠΟ. Οὔκ, ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι
Μουσάων θεράποντες ὀτρηροί,
κατὰ τὸν Ὅμηρον.

ΠΙ. Οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις.
Ἀτάρ, ὦ ποητά, κατὰ τί δεῦρ' ἀνεφθάρης ;

ΠΟ. Μέλη πεπόηκ' εἰς τὰς Νεφελοκοκκυγίας
τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλὰ
καὶ παρθένεια καὶ κατὰ τὰ Σιμωνίδου.

ΠΙ. Ταυτὶ σὺ πότ' ἐπόησας ; Ἀπὸ πόσου χρόνου ;

ΠΟ. Πάλαι, πάλαι δὴ τήνδ' ἐγὼ κλῄζω πόλιν.

ΠΙ. Οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ,
καὶ τοὔνομ' ὥσπερ παιδίῳ νυνδὴ 'θέμην ;

ΠΟ. Ἀλλά τις ὠκεῖα Μουσάων φάτις
οἷάπερ ἵππων ἀμαρυγά.
Σὺ δὲ πάτερ, κτίστορ Αἴτνας,
ζαθέων ἱερῶν ὁμώνυμε,
δὸς ἐμὶν ὅ τι πὲρ
τεᾷ κεφαλᾷ θέλεις
πρόφρων δόμεν ἐμὶν τεῶν.

ΠΙ. Τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα.
Οὗτος, σὺ μέντοι σπολάδα καὶ χιτῶν' ἔχεις,
ἀπόδυθι καὶ δὸς τῷ ποητῇ τῷ σοφῷ.
Ἔχε τὴν σπολάδα· πάντως δέ μοι ῥιγῶν δοκεῖς.

ΠΟ. Τόδε μὲν οὐκ ἀέκουσα φίλα
Μοῦσα δῶρον δέχεται·
τὺ δὲ τεᾷ φρενὶ μάθε Πινδάρειον ἔπος —

ΠΙ. Ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.

Sujet : Aristophane, *Oiseaux*, v. 1437-1469.

Série : Lettres et Arts
Epreuve : Explication d'un texte grec (spécialité)

ΠΙ. Νῦν τοι λέγων πτερῶ σε.
ΣΥ. Καὶ πῶς ἂν λόγοις
ἄνδρα πτερώσειας σύ;
ΠΙ. Πάντες τοι λόγοις
ἀναπτεροῦνται.
ΣΥ. Πάντες;
ΠΙ. Οὐκ ἀκήκοας,
ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε
τὸ μειράκιον ἐν τοῖσι κουρείοις ταδί;
« Δεινῶς γέ μου τὸ μειράκιον Διειτρέφης
λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν. »
Ὁ δέ τις τὸν αὑτοῦ φησιν ἐπὶ τραγῳδίᾳ
ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας.
ΣΥ. Λόγοισι τἄρα καὶ πτεροῦνται;
ΠΙ. Φήμ' ἐγώ.
Ὑπὸ γὰρ λόγων ὁ νοῦς ⟨τε⟩ μετεωρίζεται
ἐπαίρεταί τ' ἄνθρωπος. Οὕτω καὶ σ' ἐγὼ
ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις
τρέψαι πρὸς ἔργον νόμιμον.
ΣΥ. Ἀλλ' οὐ βούλομαι.
ΠΙ. Τί δαὶ ποήσεις;
ΣΥ. Τὸ γένος οὐ καταισχυνῶ.
Παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
Ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς
ἱέρακος ἢ κερχνῄδος, ὡς ἂν τοὺς ξένους
καλεσάμενος κᾆτ' ἐγκεκληκὼς ἐνθαδὶ
κατ' αὖ πέτωμαι πάλιν ἐκεῖσε.
ΠΙ. Μανθάνω.
Ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην
ἐνθάδε πρὶν ἥκειν ὁ ξένος.
ΣΥ. Πάνυ μανθάνεις.
ΠΙ. Κᾆπειθ' ὁ μὲν πλεῖ δεῦρο, σὺ δ' ἐκεῖσ' αὖ πέτει
ἁρπασόμενος τὰ χρήματ' αὐτοῦ.
ΣΥ. Πάντ' ἔχεις.
Βέμβικος οὐδὲν διαφέρειν δεῖ.
ΠΙ. Μανθάνω
βέμβικα. Καὶ μὴν ἔστι μοι νὴ τὸν Δία
κάλλιστα Κορκυραῖα τοιαυτὶ πτερά.
ΣΥ. Οἴμοι τάλας, μάστιγ' ἔχεις.
ΠΙ. Πτερὼ μὲν οὖν,
οἷσί σε ποήσω τήμερον βεμβικιᾶν.
ΣΥ. Οἴμοι τάλας.
ΠΙ. Οὐ πτερυγιεῖς ἐντευθενί;
Οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;
Πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
Ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

Sujet : Aristophane, *Oiseaux*, v. 1494-1530.



ΠΡΟΜΗΘΕΥΣ
Οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ' ὄψεται.
Ποῦ Πισθέταιρός ἐστιν;
ΠΙ. Ἔα, τουτὶ τί ἦν;
Τίς ὁ συγκαλυμμός;
ΠΡ. Τῶν θεῶν ὁρᾷς τινα
ἐμοῦ κατόπιν ἐνταῦθα;
ΠΙ. Μὰ Δί' ἐγὼ μὲν οὔ.
Τίς δ' εἶ σύ;
ΠΡ. Πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας;
ΠΙ. Ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.
Ἀλλὰ σὺ τίς εἶ;
ΠΡ. Βουλυτὸς ἢ περαιτέρω;
ΠΙ. Οἴμ' ὡς βδελύττομαί σε.
ΠΡ. Τί γὰρ ὁ Ζεὺς ποεῖ;
Ἀπαιθριάζει τὰς νεφέλας ἢ ξυννέφει;
ΠΙ. Οἴμωζε μεγάλ'.
ΠΡ. Οὕτω μὲν ἐκκεκαλύψομαι.
ΠΙ. Ὦ φίλε Προμηθεῦ.
ΠΡ. Παῦε παῦε, μὴ βόα.
ΠΙ. Τί γάρ ἐστι;
ΠΡ. Σίγα, μὴ κάλει μου τοὔνομα·
ἀπὸ γάρ μ' ὀλεῖς, εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.
Ἀλλ' ἵνα φράσω σοι πάντα τἄνω πράγματα,
τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε,
ἄνωθεν ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.
ΠΙ. Ἰοῦ ἰοῦ·
εὖ γ' ἐπενόησας αὐτὸ καὶ προμηθικῶς.
Ὑπόδυθι ταχὺ δὴ κᾆτα θαρρήσας λέγε.
ΠΡ. Ἄκουε δή νυν.
ΠΙ. Ὡς ἀκούοντος λέγε.
ΠΡ. Ἀπόλωλεν ὁ Ζεύς.
ΠΙ. Πηνίκ' ἄττ' ἀπώλετο;
ΠΡ. Ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
Θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,
ἀλλ' ὡσπερεὶ Θεσμοφορίοις νηστεύομεν
ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ
πεινῶντες ὥσπερ Ἰλλυριοὶ κεκριγότες
ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διί,
εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,
ἵν' εἰσάγοιτο σπλάγχνα κατατετμημένα.
ΠΙ. Εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες
ἄνωθεν ὑμῶν;
ΠΡ. Οὐ γάρ εἰσι βάρβαροι,
ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;
ΠΙ. Ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
τί ἐστιν;
ΠΡ. Ὅ τι ἐστίν; Τριβαλλοί.
ΠΙ. Μανθάνω.
Ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.

13.1 Καὶ ἐλθὼν ἅμα τῇ Χλόῃ πρὸς τὸ νυμφαῖον, τῇ μὲν ἔδωκε καὶ τὸν χιτωνίσκον καὶ τὴν πήραν φυλάττειν, αὐτὸς δὲ τῇ πηγῇ προστὰς τήν τε κόμην καὶ τὸ σῶμα πᾶν ἀπελούετο. 2 Ἦν δὲ ἡ μὲν κόμη μέλαινα καὶ πολλή, τὸ δὲ σῶμα ἐπίκαυτον ἡλίῳ· εἴκασεν ἄν τις αὐτὸ χρώζεσθαι τῇ σκιᾷ τῆς κόμης. Ἐδόκει δὲ τῇ Χλόῃ θεωμένῃ καλὸς ὁ Δάφνις, καὶ ὅτι πρῶτον αὐτῇ καλὸς ἐδόκει, τὸ λουτρὸν ἐνόμιζε τοῦ κάλλους αἴτιον. Καὶ τὰ νῶτα δὲ ἀπολουούσης ἡ σὰρξ καθυπέπιπτε μαλθακή, ὥστε λαθοῦσα ἑαυτῆς ἥψατο πολλάκις, εἰ τρυφερώτερον εἴη πειρωμένη. 3 Καὶ τότε μὲν — ἐπὶ δυσμαῖς γὰρ ἦν ὁ ἥλιος — ἀπήλασαν τὰς ἀγέλας οἴκαδε καὶ ἐπεπόνθει Χλόη περιττὸν οὐδέν, ὅτι μὴ Δάφνιν ἐπεθύμει λουόμενον ἰδέσθαι πάλιν. 4 Τῆς δὲ ὑστεραίας ὡς ἧκον εἰς τὴν νομήν, ὁ μὲν Δάφνις ὑπὸ τῇ δρυῒ τῇ συνήθει καθεζόμενος ἐσύριττε καὶ ἅμα τὰς αἶγας ἐπεσκόπει κατακειμένας καὶ ὥσπερ τῶν μελῶν ἀκροωμένας, ἡ δὲ Χλόη πλησίον καθημένη καὶ τὴν ἀγέλην μὲν τῶν προβάτων ἐπέβλεπε, τὸ δὲ πλέον εἰς Δάφνιν ἑώρα· καὶ ἐδόκει καλὸς αὐτῇ συρίττων πάλιν, καὶ αὖθις αἰτίαν ἐνόμιζε τὴν μουσικὴν τοῦ κάλλους, ὥστε μετ’ ἐκεῖνον καὶ αὐτὴ τὴν σύριγγα ἔλαβεν, εἴ πως γένοιτο καὶ αὐτὴ καλή. 5 Ἔπεισε δὲ αὐτὸν καὶ λούσασθαι πάλιν καὶ λουόμενον εἶδε καὶ ἰδοῦσα ἥψατο καὶ ἀπῆλθε πάλιν ἐπαινέσασα, καὶ ὁ ἔπαινος ἦν ἔρωτος ἀρχή.

Longus, *Daphnis et Chloé*, I.13.1-5

Δάφνις δέ, ὥσπερ οὐ φιληθείς, ἀλλὰ δηχθείς, σκυθρωπός τις εὐθὺς ἦν καὶ πολλάκις ἐψύχετο καὶ τὴν καρδίαν παλλομένην κατεῖχε, καὶ βλέπειν μὲν ἤθελε τὴν Χλόην, βλέπων δ' ἐρυθήματι ἐπίμπλατο. 3 Τότε πρῶτον καὶ τὴν κόμην αὐτῆς ἐθαύμασεν ὅτι ξανθή, καὶ τοὺς ὀφθαλμοὺς ὅτι μεγάλοι καθάπερ βοός, καὶ τὸ πρόσωπον ὅτι λευκότερον ἀληθῶς καὶ τοῦ τῶν αἰγῶν γάλακτος, ὥσπερ τότε πρῶτον ὀφθαλμοὺς κτησάμενος, τὸν δὲ πρότερον χρόνον πεπηρωμένος. 4 Οὔτε οὖν τροφὴν προσεφέρετο πλὴν ὅσον ἀπογεύσασθαι· καὶ ποτόν, εἴ ποτε ἐβιάσθη, μέχρι τοῦ ἂν διαβρέξαι τὸ στόμα προσεφέρετο. Σιωπηλὸς ἦν ὁ πρότερον τῶν ἀκρίδων λαλίστερος, ἀργὸς ὁ περιττότερα τῶν αἰγῶν κινούμενος. Ἠμέλητο καὶ ἡ ἀγέλη· ἔρριπτο καὶ ἡ σῦριγξ· χλωρότερον τὸ πρόσωπον ἦν πόας θερινῆς. Εἰς μόνην Χλόην ἐγίνετο λάλος· καὶ εἴ ποτε μόνος ἀπ' αὐτῆς ἐγένετο, τοιαῦτα πρὸς αὑτὸν ἀπελήρει·

18.1 « Τί ποτέ με Χλόης ἐργάζεται φίλημα ; Χείλη μὲν ῥόδων ἁπαλώτερα καὶ στόμα κηρίων γλυκύτερον. τὸ δὲ φίλημα κέντρου μελίττης πικρότερον. Πολλάκις ἐφίλησα ἐρίφους, πολλάκις ἐφίλησα σκύλακας ἀρτιγεννήτους καὶ τὸν μόσχον ὃν ὁ Δόρκων ἐδωρήσατο· ἀλλὰ τοῦτο φίλημα καινόν· ἐκπηδᾷ μου τὸ πνεῦμα, ἐξάλλεται ἡ καρδία, τήκεται ἡ ψυχή, καὶ ὅμως πάλιν φιλῆσαι θέλω. 2 Ὢ νίκης κακῆς· ὢ νόσου καινῆς, ἧς οὐδὲ εἰπεῖν οἶδα τὸ ὄνομα. Ἆρα φαρμάκων ἐγεύσατο ἡ Χλόη μέλλουσά με φιλεῖν ; Πῶς οὖν οὐκ ἀπέθανεν ; Οἷον ᾄδουσιν αἱ ἀηδόνες, ἡ δὲ ἐμὴ σῦριγξ σιωπᾷ· οἷον σκιρτῶσιν οἱ ἔριφοι, κἀγὼ κάθημαι· οἷον ἀκμάζει τὰ ἄνθη, κἀγὼ στεφάνους οὐ πλέκω, ἀλλὰ τὰ μὲν ἴα καὶ ὁ ὑάκινθος ἀνθεῖ, Δάφνις δὲ μαραίνεται. »

Longus, *Daphnis et Chloé* I, 17-18

30.1 Δόρκων μὲν δὴ τοσαῦτα εἰπὼν καὶ φίλημα φιλήσας ὕστατον ἀφῆκεν ἅμα τῷ φιλήματι καὶ τῇ φωνῇ τὴν ψυχήν· ἡ δὲ Χλόη λαβοῦσα τὴν σύριγγα καὶ ἐνθεῖσα τοῖς χείλεσιν ἐσύριζε μέγιστον ὡς ἐδύνατο· καὶ αἱ βόες ἀκούουσι καὶ τὸ μέλος γνωρίζουσι καὶ ὁρμῇ μιᾷ μυκησάμεναι πηδῶσιν εἰς τὴν θάλασσαν. 2 Βιαίου δὲ πηδήματος εἰς ἕνα τοῖχον τῆς νεὼς γενομένου καὶ ἐκ τῆς ἐμπτώσεως τῶν βοῶν κοίλης τῆς θαλάσσης διαστάσης στρέφεται μὲν ἡ ναῦς καὶ τοῦ κλύδωνος συνιόντος ἀπόλλυται, οἱ δὲ ἐκπίπτουσιν οὐχ ὁμοίαν ἔχοντες ἐλπίδα σωτηρίας. 3 Οἱ μὲν γὰρ λῃσταὶ τὰς μαχαίρας παρήρτηντο καὶ τὰ ἡμιθωράκια λεπιδωτὰ ἐνεδέδυντο καὶ κνημῖδας εἰς μέσην κνήμην ὑπεδέδεντο· ὁ δὲ Δάφνις ἀνυπόδητος, ὡς ἐν πεδίῳ νέμων, καὶ ἡμίγυμνος, ὡς ἔτι τῆς ὥρας οὔσης καύματος. 4 Ἐκείνους μὲν οὖν ἐπ’ ὀλίγον νηξαμένους τὰ ὅπλα κατήνεγκεν εἰς βυθόν· ὁ δὲ Δάφνις τὴν μὲν ἐσθῆτα ῥᾳδίως ἀπεδύσατο, περὶ δὲ τὴν νῆξιν ἔκαμνεν, οἷα πρότερον νηχόμενος ἐν ποταμοῖς μόνοις· 5 ὕστερον δὲ παρὰ τῆς ἀνάγκης τὸ πρακτέον διδαχθεὶς εἰς μέσας ὥρμησε τὰς βοῦς, καὶ δύο βοῶν δύο κεράτων ταῖς δύο χερσὶ λαβόμενος ἐκομίζετο μέσος ἀλύπως καὶ ἀπόνως, ὥσπερ ἐλαύνων ἅμαξαν. 6 Νήχεται δὲ ἄρα βοῦς ὅσον οὐδὲ ἄνθρωπος· μόνον λείπεται τῶν ἐνύδρων ὀρνίθων καὶ αὐτῶν ἰχθύων· οὐδ’ ἂν ἀπόλοιτο βοῦς νηχόμενος, εἰ μὴ τῶν χηλῶν οἱ ὄνυχες περιπέσοιεν διάβροχοι γενόμενοι. Μαρτυροῦσι τῷ λόγῳ μέχρι νῦν πολλοὶ τόποι τῆς θαλάσσης, βοὸς πόροι λεγόμενοι.

Longus, *Daphnis et Chloé* I, 30

3.1 Τερπομένοις δὲ αὐτοῖς ἐφίσταται πρεσβύτης σισύρας ἐνδεδυμένος, καρβατίνας ὑποδεδεμένος, πήραν ἐξηρτημένος, καὶ τὴν πήραν παλαιάν. Οὗτος πλησίον καθίσας αὐτῶν ὧδε εἶπε· 2 « Φιλητᾶς, ὦ παῖδες, ὁ πρεσβύτης ἐγώ, ὃς πολλὰ μὲν ταῖσδε ταῖς Νύμφαις ᾖσα, πολλὰ δὲ τῷ Πανὶ ἐκείνῳ ἐσύρισα, βοῶν δὲ πολλῆς ἀγέλης ἡγησάμην μόνῃ μουσικῇ. Ἥκω δὲ ὑμῖν ὅσα εἶδον μηνύσων, ὅσα ἤκουσα ἀπαγγελῶν. 3 Κῆπός ἐστί μοι τῶν ἐμῶν χειρῶν, ὃν ἐξ οὗ νέμειν διὰ γῆρας ἐπαυσάμην, ἐξεπονησάμην ὅσα ὧραι φέρουσι, πάντα ἔχων ἐν αὑτῷ καθ’ ὥραν ἑκάστην· 4 ἦρος ῥόδα <καὶ> κρίνα καὶ ὑάκινθος καὶ ἴα ἀμφότερα, θέρους μήκωνες καὶ ἀχράδες καὶ μῆλα πάντα, νῦν ἄμπελοι καὶ συκαῖ καὶ ῥοιαὶ καὶ μύρτα χλωρά. 5 Εἰς τοῦτον τὸν κῆπον ὀρνίθων ἀγέλαι συνέρχονται τὸ ἑωθινόν, τῶν μὲν ἐς τροφήν, τῶν δὲ ἐς ᾠδήν· συνηρεφὴς γὰρ καὶ κατάσκιος καὶ πηγαῖς τρισὶ κατάρρυτος· ἂν περιέλῃ τις τὴν αἱμασιάν, ἄλσος ὁρᾶν οἰήσεται.

4.1 Εἰσελθόντι δέ μοι τήμερον ἀμφὶ μέσην ἡμέραν ὑπὸ ταῖς ῥοιαῖς καὶ ταῖς μυρρίναις βλέπεται παῖς, μύρτα καὶ ῥοιὰς ἔχων, λευκὸς ὥσπερ γάλα καὶ ξανθὸς ὥσπερ πῦρ, στιλπνὸς ὡς ἄρτι λελουμένος· γυμνὸς ἦν, μόνος ἦν· ἔπαιζεν ὡς ἴδιον κῆπον τρυγῶν. 2 Ἐγὼ μὲν οὖν ὥρμησα ἐπ’ αὐτὸν ὡς συλληψόμενος, δείσας μὴ ὑπ’ ἀγερωχίας τὰς μυρρίνας καὶ τὰς ῥοιὰς κατακλάσῃ· ὁ δέ με κούφως καὶ ῥᾳδίως ὑπέφευγε, ποτέ μὲν ταῖς ῥοδωνιαῖς ὑποτρέχων, ποτὲ δὲ ταῖς μήκωσιν ὑποκρυπτόμενος, ὥσπερ πέρδικος νεοττός. 3 Καίτοι πολλάκις μὲν πράγματα ἔσχον ἐρίφους γαλαθηνοὺς διώκων, πολλάκις δὲ ἔκαμον μεταθέων μόσχους ἀρτιγεννήτους· ἀλλὰ τοῦτο ποικίλον τι χρῆμα ἦν καὶ ἀθήρατον ».

Longus, *Daphnis et Chloé* II, 3.1-4.3

Καμὼν οὖν ὡς γέρων καὶ ἐπερεισάμενος τῇ βακτηρίᾳ καὶ ἅμα φυλάττων μὴ φύγῃ, ἐπυνθανόμην τίνος ἐστὶ τῶν γειτόνων, καὶ τί βουλόμενος ἀλλότριον κῆπον τρυγᾷ. 4 Ὁ δὲ ἀπεκρίνατο μὲν οὐδέν, στὰς δὲ πλησίον ἐγέλα πάνυ ἁπαλὸν καὶ ἔβαλλέ με τοῖς μύρτοις καὶ οὐκ οἶδ' ὅπως ἔθελγε μηκέτι θυμοῦσθαι. Ἐδεόμην οὖν εἰς χεῖρας ἐλθεῖν μηδὲν φοβούμενον ἔτι, καὶ ὤμνυον κατὰ τῶν μύρτων ἀφήσειν, ἐπιδοὺς μήλων καὶ ῥοιῶν, παρέξειν τε ἀεὶ τρυγᾶν τὰ φυτὰ καὶ δρέπειν τὰ ἄνθη, τυχὼν παρ' αὐτοῦ φιλήματος ἑνός.

5.1 Ἐνταῦθα πάνυ καπυρὸν γελάσας ἀφίησι φωνήν, οἵαν οὔτε χελιδὼν οὔτε ἀηδὼν οὔτε κύκνος, ὅμοιος ἐμοὶ γέρων γενόμενος. « Ἐμοὶ μέν, ὦ Φιλητᾶ, φιλῆσαί σε πόνος οὐδείς· βούλομαι γὰρ φιλεῖσθαι μᾶλλον ἢ σὺ γενέσθαι νέος· ὅρα δὲ εἴ σοι καθ' ἡλικίαν τὸ δῶρον· 2 οὐδὲν γάρ σε ὠφελήσει τὸ γῆρας πρὸς τὸ μὴ διώκειν ἐμὲ μετὰ τὸ ἓν φίλημα. Δυσθήρατος εἰμὶ καὶ ἱέρακι καὶ ἀετῷ καὶ εἴ τις ἄλλος τούτων ὠκύτερος ὄρνις. Οὔ τοι παῖς ἐγὼ καὶ εἰ δοκῶ παῖς, ἀλλὰ καὶ τοῦ Κρόνου πρεσβύτερος καὶ αὐτοῦ τοῦ παντὸς χρόνου. 3 Καί σε οἶδα νέμοντα πρωθήβην ἐν ἐκείνῳ τῷ ὄρει τὸ πλατὺ βουκόλιον καὶ παρήμην σοι συρίττοντι πρὸς ταῖς φηγοῖς ἐκείναις, ἡνίκα ἤρας Ἀμαρυλλίδος· ἀλλά με οὐχ ἑώρας καίτοι πλησίον μάλα τῇ κόρῃ παρεστῶτα. Σοὶ μὲν οὖν ἐκείνην ἔδωκα· καὶ ἤδη σοι παῖδες, ἀγαθοὶ βουκόλοι καὶ γεωργοί· 4 νῦν δὲ Δάφνιν ποιμαίνω καὶ Χλόην ».

Longus, *Daphnis et Chloé* II, 4-5

**Epictète reproche à ses semblables de ne pas remplir leur mission d'être humain : louer la divinité pour le seul fait d'être un être humain.**

Ταῦτα ἐφ’ ἑκάστου[1] ἐφυμνεῖν ἔδει καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκεν τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρηστικήν[2]. τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν καὶ ὑπὲρ πάντων[3] ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλὸς εἰ μὴ ὑμνεῖν τὸν θεόν; εἰ γοῦν ἀηδὼν ἤμην[4], ἐποίουν[5] τὰ τῆς ἀηδόνος, εἰ κύκνος, τὰ τοῦ κύκνου. νῦν δὲ λογικός εἰμι· ὑμνεῖν με δεῖ τὸν θεόν. τοῦτό μου τὸ ἔργον ἐστίν, ποιῶ αὐτὸ οὐδ’ ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφ’ ὅσον ἂν διδῶται[6], καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

Épictète, *Entretiens*, I, 16, 16-21

[1] ἐφ’ ἑκάστου : « à chaque occasion ».
[2] τὴν δύναμιν τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρηστικήν : traduire par « la faculté de saisir ces choses par la pensée et d'en user avec méthode ».
[3] ὑπὲρ πάντων : « pour le bénéfice de tous ».
[4] ἤμην : forme non classique pour ἦν, 1[e] personne du singulier de l'imparfait de εἶναι.
[5] Traduire comme si l'on avait ἐποίουν ἄν.
[6] ἐφ’ ὅσον ἂν διδῶται : « autant que cela m'est donné ».

**Epictète explique à un interlocuteur fictif que ce n’est pas une mince affaire que de remplir la fonction d’homme**

Τί γάρ ἐστιν ἄνθρωπος;

— Ζῷον, φησί, λογικὸν θνητόν.

— Εὐθὺς ἐν τῷ λογικῷ τίνων χωριζόμεθα; [1]

— Τῶν θηρίων.

— Καὶ τίνων ἄλλων;

— Τῶν προβάτων καὶ τῶν ὁμοίων.

— Ὅρα οὖν μή τί πως ὡς θηρίον ποιήσῃς· εἰ δὲ μή, ἀπώλεσας τὸν ἄνθρωπον, οὐκ ἐπλήρωσας τὴν ἐπαγγελίαν[2]. Ὅρα μή τι ὡς πρόβατον[3]· εἰ δὲ μή, καὶ οὕτως ἀπώλετο ὁ ἄνθρωπος. Τίνα[4] οὖν ποιοῦμεν ὡς πρόβατα; Ὅταν τῆς γαστρὸς ἕνεκα[5], ὅταν τῶν αἰδοίων, ὅταν εἰκῇ, ὅταν ῥυπαρῶς, ὅταν ἀνεπιστρέπτως, ποῦ ἀπεκλίναμεν; ἐπὶ τὰ πρόβατα. Τί ἀπωλέσαμεν; τὸ λογικόν[6]. Ὅταν μαχίμως καὶ βλαβερῶς καὶ θυμικῶς καὶ ὠστικῶς[7], ποῦ ἀπεκλίναμεν; ἐπὶ τὰ θηρία. Λοιπὸν[8] οἱ μὲν ἡμῶν μεγάλα θηρία εἰσίν, οἱ δὲ θηρίδια κακοήθη καὶ μικρά, ἀφ’ ὧν ἔστιν εἰπεῖν ‘λέων με καὶ φαγέτω.’[9]

Épictète, *Entretiens*, II, 9, 1-7

[1] Εὐθὺς ἐν τῷ λογικῷ τίνων χωριζόμεθα; : « tout d’abord, par la faculté rationnelle (τῷ λογικῷ), de quoi nous distinguons-nous ? ».

[2] Comprendre τὴν ἀνθρώπου ἐπαγγελίαν : « la fonction d’homme ».

[3] Sous-entendre ποιήσῃς.

[4] Τίνα : neutre pluriel.

[5] Sous-entendre : ποιοῦμεν τί.

[6] τὸ λογικόν : « la faculté rationnelle ».

[7] Sous-entendre : ποιοῦμεν τί.

[8] Λοιπόν : adverbial. A traduire ici par « donc », « par conséquent ».

[9] ‘λέων με καὶ φαγέτω.’ : « Si encore c’était un lion qui pût me manger ! »

**Comment les cavales d'Hippolyte, effrayées par un taureau monstrueux surgi de la mer, ont causé la chute de son char**

εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
καὶ δεσπότης μὲν ἱππικοῖσιν ἤθεσιν
πολὺς[1] ξυνοικῶν ἥρπασ' ἡνίας χεροῖν[2],
ἕλκει δὲ κώπην ὥστε ναυβάτης ἀνήρ[3],
ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας[4]·
αἱ δ'[5] ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις
βίᾳ φέρουσιν[6], οὔτε ναυκλήρου χερὸς
οὔθ' ἱπποδέσμων οὔτε κολλητῶν ὄχων
μεταστρέφουσαι. κεἰ[7] μὲν ἐς τὰ μαλθακὰ
γαίας[8] ἔχων οἴακας εὐθύνοι[9] δρόμον,
προυφαίνετ'[10] ἐς τὸ πρόσθεν, ὥστ' ἀναστρέφειν[11],
ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον·

Euripide, *Hippolyte*, 1218-1229

---

[1] πολὺς : à comprendre ici de façon adverbiale : « longtemps ».

[2] χεροῖν = χειροῖν (duel)

[3] ἕλκει δὲ κώπην ὥστε ναυβάτης ἀνήρ : construire ἕλκει ὥστε ναυβάτης ἀνήρ κώπην.
ὥστε est ici l'équivalent de ὡς, comparatif.

[4] ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας : « en tirant son corps en arrière à l'aide des courroies ».

[5] Désigne les cavales.

[6] βίᾳ φέρουσιν : « le portent contre sa volonté ».

[7] κεἰ our καὶ εἰ.

[8] ἐς τὰ μαλθακὰ γαίας : « vers des terrains planes ».

[9] Le sujet est Hippolyte.

[10] προυφαίνετ' : pour προ-εφαίνετο.

[11] ἀναστρέφειν : ici au sens de « faire se retourner ».

**Les singes danseurs de pyrrhique.**

*Parrhésiadès (qui parle à la première personne) vient de critiquer la cupidité des philosophes imposteurs, prêts à renier tous leurs principes contre un peu d'or.*

Λέγεται δὲ καὶ βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυρριχίζειν διδάξαι καὶ τὰ θηρία - μιμηλότατα δέ ἐστι τῶν ἀνθρωπίνων - ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι ἁλουργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα, καὶ μέχρι γε πολλοῦ[1] εὐδοκιμεῖν[2] τὴν θέαν, ἄχρι δὴ θεατής τις ἀστεῖος κάρυα ὑπὸ κόλπον ἔχων ἀφῆκεν ἐς τὸ μέσον· οἱ δὲ πίθηκοι ἰδόντες καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ'[3] ὅπερ ἦσαν, πίθηκοι ἐγένοντο ἀντὶ πυρριχιστῶν καὶ συνέτριβον τὰ προσωπεῖα καὶ τὴν ἐσθῆτα κατερρήγνυον καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλους, τὸ δὲ σύνταγμα τῆς πυρρίχης διελέλυτο καὶ κατεγελᾶτο ὑπὸ τῶν θεατῶν.

Τοιαῦτα καὶ οὗτοι[4] ποιοῦσιν, καὶ ἔγωγε τοὺς τοιούτους κακῶς ἠγόρευον καὶ οὔποτε παύσομαι ἐλέγχων καὶ κωμῳδῶν.

Lucien, *Les Ressuscités ou Le Pêcheur*, 36-37.

---

[1] μέχρι πολλοῦ : « longtemps ».

[2] εὐδοκιμεῖν : ici, « avoir du succès ».

[3] τοῦθ' = τοῦτο.

[4] οὗτοι : renvoie aux philosophes imposteurs auxquels s'attaque Parrhésiadès.

**Ischomaque raconte comment un propriétaire terrien forme son personnel à lui obéir.**

οἵ τε γοῦν πῶλοι μανθάνουσιν ὑπακούειν τοῖς πωλοδάμναις τῷ[1], ὅταν μὲν πείθωνται, τῶν ἡδέων τι αὐτοῖς γίγνεσθαι, ὅταν δὲ ἀπειθῶσι, πράγματα ἔχειν[2], ἔστ' ἂν ὑπηρετήσωσι κατὰ γνώμην τῷ πωλοδάμνῃ· καὶ τὰ κυνίδια δὲ πολὺ τῶν ἀνθρώπων καὶ τῇ γνώμῃ καὶ τῇ γλώττῃ ὑποδεέστερα ὄντα ὅμως καὶ περιτρέχειν καὶ κυβιστᾶν καὶ ἄλλα πολλὰ μανθάνει τῷ αὐτῷ τούτῳ τρόπῳ. ὅταν μὲν γὰρ πείθηται, λαμβάνει τι ὧν δεῖται, ὅταν δὲ ἀμελῇ, κολάζεται. ἀνθρώπους δ' ἔστι [3] πιθανωτέρους ποιεῖν καὶ λόγῳ, ἐπιδεικνύοντα ὡς συμφέρει αὐτοῖς πείθεσθαι, τοῖς δὲ δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι πάνυ ἐστὶν ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν· τῇ γὰρ γαστρὶ αὐτῶν ἐπὶ ταῖς ἐπιθυμίαις προσχαριζόμενος[4] ἂν πολλὰ ἀνύτοις παρ' αὐτῶν.

Xénophon, *Economique*, 13.7-9.

---

[1] τῷ : l'article commande deux infinitifs substantivés, γίγνεσθαι et ἔχειν.

[2] πράγματα ἔχειν : « avoir des ennuis ».

[3] ἔστι : « il est possible ».

[4] τῇ... γαστρὶ αὐτῶν ἐπὶ ταῖς ἐπιθυμίαις προσχαριζόμενος : *en flattant leur estomac selon leurs désirs*.

**Exploits de Thésée.**

ὁ δ’, αὐτὸς αὑτοῦ κύριος ὢν[1], τούτους προῃρεῖτο τῶν ἀγώνων ἐξ ὧν ἤμελλεν ἢ τῶν Ἑλλήνων ἢ τῆς αὑτοῦ πατρίδος εὐεργέτης γενήσεσθαι. Καὶ τόν τε[2] ταῦρον τὸν ἀνεθέντα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσάμενος μεγάλου φόβου καὶ πολλῆς ἀπορίας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξεν· καὶ μετὰ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος, στρατευσάμενος ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ διενεγκόντες τὰς μὲν ἐπόρθουν, τὰς δ’ ἤμελλον, ταῖς δ’ ἠπείλουν τῶν πόλεων[3], τούτους μάχῃ νικήσας εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ’ ὕστερον χρόνῳ τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν.

Isocrate, *Eloge d’Hélène*, 25-26.

[1] αὐτὸς αὑτοῦ κύριος ὢν : par opposition à Héraclès, dont Isocrate vient de parler, et qui a, lui, accompli ses exploits sur l’ordre d’Eurysthée auquel il était soumis.

[2] τε : à relier avec καί au début de la phrase suivante (καὶ μετὰ ταῦτα…).

[3] τῶν πόλεων se construit avec τὰς μὲν…, τὰς δ’…, ταῖς δ’…

**Les brebis et le chien.**

*Aristarque a recueilli chez lui des parentes, qui font vivre la maisonnée grâce à leurs travaux textiles. Mais elles se plaignent qu'Aristarque prenne part aux repas sans prendre part aux travaux. Socrate lui conseille alors de leur raconter cette histoire.*

Φασὶ γάρ, ὅτε φωνήεντα ἦν τὰ ζῷα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας[1] καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτό σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου[2]. Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· Ναὶ μὰ Δί'· ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σῴζων ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ[3] ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι.

Xénophon, *Mémorables*, II, 7, 13-14.

[1] ἄρνας : accusatif pluriel de ὁ ἀρήν, ἀρνός : *l'agneau.*

[2] οὗπερ αὐτὸς ἔχεις σίτου : construire : τοῦ σίτου οὗπερ αὐτὸς ἔχεις.

[3] ἐπεί : assure la coordination et signifie *car, en effet*.